eul_wid: hps-ab

*Μένανδρος ὁ Ἀθηναῖος* · Menander of Athens

# Longer Fragments Preserved by Other Authors

*Μακρότερα Ἀποσπάσματα*

**Period:** *Ἑλληνιστική* Hellenistic
**Dialect:** *Κωμῳδία Ἀττική* Attic Comedy
**Domain:** *Κωμῳδία* Comedy
**Format:** *Ἔμμετρος* Verse

book 59*.1 [ln_1][spk_〈α〉]〈Α〉 οὐ γαμεῖς, ἂν νοῦν ἔχῃς, τοῦτον καταλείπων τὸν βίον. γεγάμηκα γὰρ αὐτός· διὰ τοῦτό σοι

book 59*.2 παραινῶ μὴ γαμεῖν. 〈Β〉 δεδογμένον τὸ πρᾶγμ'· ἀνερρίφθω κύβος.[ln_5]〈Α〉 πέραινε. σωθείης δέ. νῦν ἀληθινὸν εἰς πέλαγος αὑτὸν ἐμβαλεῖς γὰρ

book 59*.3 πραγμάτων, οὐ Λιβυκὸν οὐδ' Αἰγαῖον 〈οὐδ' –〉, οὗ τῶν

book 59*.4 τριάκοντ' οὐκ ἀπόλλυται

book 59*.5 τρία

book 59*.6 πλοιάρια· γήμας δ' οὐδὲ εἷς σέσωσθ' ὅλως.

book 60.1 ἐὰν δὲ κινήσῃ μόνον τὴν Μυρτίλην

book 60.2 ταύτην

book 60.3 τις, ἣν τίτθην καλεῖ, πέρας

book 60.4 ποεῖ λαλιᾶς. τὸ Δωδωναῖον ἄν

book 60.5 τις

book 60.6 χαλκίον, ὃ λέγουσιν ἠχεῖν, ἂν

book 60.7 παράψηθ' ὁ παριών,[ln_5]τὴν ἡμέραν ὅλην, καταπαύσαι θᾶττον ἢ ταύτην λαλοῦσαν· νύκτα γὰρ

book 60.8 προσλαμβάνει.

book 97.1 [ln_1]ἀγαθόν

book 97.2 τι μοι γένοιτο.[ln_2]ὦ πολυτίμητοι θεοί, ὑποδούμενος τὸν ἱμάντα 〈—〉 τῆς δεξιᾶς ἐμβάδος ἀπέρρηξα.

book 97.1 [ln_4][spk_〈β〉]〈Β〉 εἰκότως, ὦ φλήναφε·[ln_5]σαπρὸς γὰρ ἦν, σὺ δὲ μικρολόγος 〈τισ〉 οὐ θέλων καινὸν

book 97.2 πρίασθαι.

book 208.1 [ln_1]οὐκ ἀδελφός, οὐκ ἀδελφὴ παρενοχλήσει, τηθίδα οὐδ' ἑώρακεν τὸ σύνολον, θεῖον οὐδ' ἀκήκοεν. εὐτύχημα δ' ἐστὶν ὀλίγους

book 208.2 τοὺς ἀναγκαίους ἔχειν.

book 209.1 ἔργον 〈ἐστὶν〉 εἰς

book 209.2 τρίκλινον

book 209.3 συγγενείας εἰσπεσεῖν, οὗ λαβὼν τὴν κύλικα

book 209.4 πρῶτος ἄρχεται λόγου

book 209.5 πατήρ, καὶ παραινέσει πέπαιχεν, εἶτα μήτηρ δευτέρα, εἶτα τήθη

book 209.6 παραλαλεῖ τις, εἶτα βαρύφωνος γέρων,[ln_5]τηθίδος

book 209.7 πατήρ, ἔπειτα γραῦς καλοῦσα φίλτατον. ὁ δ’ ἐπινεύει πᾶσι

book 209.8 τούτοις

book 210.1 οὐθεὶς δι’ ἀνθρώπου θεὸς σώιζει, γύναι, ἑτέρου τὸν ἕτερον. εἰ γὰρ ἕλκει

book 210.2 τινὰ θεὸν

book 210.3 τοῖς κυμβάλοις ἄνθρωπος εἰς ὃ βούλεται, ὁ τοῦτο

book 210.4 ποιῶν ἐστι μείζων

book 210.5 τοῦ θεοῦ.[ln_5]ἀλλ’ ἔστι τόλμης καὶ βίας

book 210.6 ταῦτ’ ὄργανα εὑρημέν’ ἀνθρώποις ἀναιδέσιν, Ῥόδη, εἰς καταγέλωτα τῶι βίωι πεπλασμένα.

book 215.1 [ln_1][spk_〈α〉]〈Α〉 Μόνιμός

book 215.2 τις ἦν ἄνθρωπος, ὦ Φίλων, σοφός, ἀδοξότερος μικρῶι δέ.

book 215.1 [ln_2][spk_〈φιλ〉]〈Φιλ〉 ὁ τὴν πήραν ἔχων; 〈Α〉 πήρας μὲν οὖν

book 215.2 τρεῖς. ἀλλ’ ἐκεῖνος ῥῆμά τι ἐφθέγξατ’ οὐδὲν ἐμφερές, μὰ τὸν Δία,[ln_5]τῶι “γνῶθι

book 215.3 σαυτόν”, οὐδὲ τοῖς βοωμένοις

book 215.4 τούτοις, ὑπὲρ δὲ ταῦθ’ ὁ προσαιτῶν καὶ ῥυπῶν· τὸ γὰρ ὑποληφθὲν τῦφον εἶναι πᾶν ἔφη.

book 250.1 [ln_1]τἀργύριον εἶναι, μειράκιόν, σοι

book 250.2 φαίνεται οὐ τῶν ἀναγκαίων καθ’ ἡμέραν μόνον

book 250.3 τιμὴν

book 250.4 παρασχεῖν δυνατόν, ἄρτων, ἀλφίτων, ὄξους, ἐλαίου, μείζονος δ’ ἄλλου

book 250.5 τινός.[ln_5]ἀθανασίας δ’ οὐκ ἔστιν, οὐδ’ ἂν

book 250.6 συναγάγηις τὰ Ταντάλου τάλαντ’ ἐκεῖνα λεγόμενα· ἀλλ’ ἀποθανῆι καὶ ταῦτα καταλείψεις

book 250.7 τινί.

book 251 οἷοι λαλοῦμεν ὄντες. ὦ τρισάθλιοι ἅπαντες οἱ φυσῶντες ἐφ’ ἑαυτοῖς μέγα· οὗτοι γὰρ οὐκ ἴσασιν ἀνθρώπου φύσιν. οὗτος μακάριος ἐν ἀγορᾶι νομίζεται,[ln_5]ἐπὰν δ’ ἀνοίξηι τὰς θύρας, τρισάθλιος· γυνὴ κρατεῖ πάντων, ἐπιτάττει μάχετ’ ἀεί. ἀπὸ πλειόνων ὀδυνᾶτ’, ἐγὼ δ’ ἀπ’ οὐδενός.

book 264.1 [ln_1]εἶτ’ οὐχ ὅμοια

book 264.2 πράττομεν καὶ θύομεν, ὅπου γε

book 264.3 τοῖς θεοῖς μὲν ἠγορασμένον δραχμῶν ἄγω

book 264.4 προβάτιον ἀγαπητὸν δέκα, αὐλητρίδας δὲ καὶ μύρον καὶ ψαλτρίας,[ln_5]Μενδαῖον, ἐγχέλεις, Θάσιον, τυρόν, μέλι, μικροῦ ταλάντου; γίνεται τὸ κατὰ λόγον, δραχμῶν μὲν ἀγαθὸν ἄξιον λαβεῖν δέκα ἡμᾶς, ἐὰν καὶ καλλιερηθῆι

book 264.5 τοῖς θεοῖς, τούτων δὲ πρὸς

book 264.6 ταῦτ’ ἀντανελεῖν τὴν ζημίαν.[ln_10]πῶς οὐχὶ τὸ κακὸν τῶν ἱερῶν διπλάζεται; ἐγὼ μὲν οὖν ὥν γε θεὸς οὐκ εἴασα τὴν ὀσφῦν ἂν ἐπὶ τὸν βωμὸν ἐπιθεῖναί ποτε, εἰ μὴ καθήγιζέν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 264.7 τις ἅμα τὴν ἔγχελυν,

book 264.1 ἵνα Καλλιμέδων ἀπέθανεν, εἷς τῶν

book 264.2 συγγενῶν.

book 276.1 [ln_1]πρὸς τὸ πρᾶγμ’ ἔχω κακῶς.[ln_2]ἐπαριστέρως γὰρ αὐτὸ λαμβάνεις. εἶτ’ ἐπιφέρει·[ln_3]τὰ δυσχερῆ γὰρ καὶ τὰ λυπήσοντά σε ὁρᾶις ἐν αὐτῶι, τὰ δ’ ἀγάθ’ οὐκ ἐπιβλέπεις.[ln_5]εὕροις δ’ ἂν οὐθὲν τῶν ἁπάντων, Σιμύλε, ἀγαθόν, ὅπου

book 276.2 τι μὴ πρόσεστι καὶ κακόν. γυνὴ πολυτελής ἐστ’ ὀχληρὸν οὐδ’ ἐᾶι ζῆν τὸν λαβόνθ’ ὡς βούλετ’· ἀλλ’ ἕν ἐστί τι ἀγαθὸν ἀπ’ αὐτῆς. παῖδες. ἐλθόντ’ εἰς νόσον[ln_10]τὸν ἔχονθ’ ἑαυτὴν ἐθεράπευσεν ἐπιμελῶς, ἀτυχοῦντι

book 276.3 συμπαρέμεινεν, ἀποθανόντα

book 276.4 τε ἔθαψε, περιέστειλεν οἰκείως. ὅρα εἰς

book 276.5 ταῦθ’ ὅταν λυπῆι

book 276.6 τι τῶν καθ’ ἡμέραν· οὕτω γὰρ οἴσεις πᾶν τὸ πρᾶγμ’· ἂν δ’ ἐκλέγηι[ln_15]ἀεὶ τὸ λυποῦν μηδὲν ἀντιπαρατιθεὶς τῶν

book 276.7 προσδοκωμένων, ὀδυνήσηι διὰ τέλους.

book 286.1 [ln_1][spk_〈α〉]〈Α〉 ἥκει λιπὼν Αἰγαῖον ἁλμυρὸν βάθος Θεόφιλος ἡμῖν. ὦ Στράτων, ὡς εἰς καλὸν τὸν υἱὸν εὐτυχοῦντα καὶ σεσωμένον

book 286.2 πρῶτος λέγω

book 286.3 σοι τόν

book 286.4 τε χρυσοῦν κάνθαρον.

book 286 [ln_5][spk_〈στρ〉]〈Στρ〉 ποῖον; τὸ πλοῖον;

book 286.1 [ln_5][spk_〈α〉]〈Α〉 οὐδὲν οἶσθας, ἄθλιε. καὶ μετ’ ὀλίγα· 〈Στρ〉 τὴν ναῦν

book 286.2 σεσῶσθαί μοι λέγεις;[ln_7]〈Α〉 ἔγωγε μὴν 〈τὴν〉 ναῦν ἐκείνην 〈ἣν〉 ἐποίησε Καλλικλῆς τὸν καλούμενον , Εὐφράνωρ 〈δ’〉 ἐκυβέρνα Θούριος.

book 287.1 ὦ φιλτάτη Γῆ μῆτερ, ὡς

book 287.2 σεμνὸν

book 287.3 σφόδρ’ εἶ τοῖς νοῦν ἔχουσι κτῆμα

book 287.4 πολλοῦ τ’ ἄξιον. ὡς δῆτ’ ἐχρῆν, εἴ τις

book 287.5 πατρῴιαν

book 287.6 παραλαβὼν γῆν καταφάγοι, πλεῖν

book 287.7 τοῦτον ἤδη διὰ τέλους[ln_5]καὶ μηδ’ ἐπιβαίνειν γῆς, ἵν’ οὕτως ἤισθετο οἷον

book 287.8 παραλαβὼν ἀγαθὸν οὐκ ἐφείσατο.

book 303.1 [ln_1]καίτοι νέος

book 303.2 ποτ’ ἐγενόμην κἀγώ, γύναι, ἀλλ’ οὐκ ἐλούμην

book 303.3 πεντάκις τῆς ἡμέρας τότ’, ἀλλὰ νῦν. οὐδὲ χλανίδ’ εἶχον, ἀλλὰ νῦν. οὐδὲ μύρον εἶχον, ἀλλὰ νῦν. καὶ βάψομαι[ln_5]καὶ παρατιλοῦμαι νὴ Δία καὶ γενήσομαι Κτήσιππος οὐκ ἄνθρωπος ἐν ὀλίγωι

book 303.4 χρόνωι, κᾆιθ’ ὡς ἐκεῖνος κατέδομαι καὶ τοὺς λίθους ἁπαξάπαντας, οὐ γὰρ οὖν τὴν γῆν μόνην.

book 304.1 διαφέρει

book 304.2 Χαιρεφῶντος οὐδὲ γρῦ ἄνθρωπος, ὅστις ἐστίν, ὃς κληθείς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 304.3 ποτε εἰς ἑστίασιν δωδεκάποδος ὄρθριος

book 304.4 πρὸς τὴν

book 304.5 σελήνην ἔτρεχε τὴν

book 304.6 σκιὰν ἰδὼν[ln_5]ὡς ὑστερίζων καὶ παρῆν ἅμ’ ἡμέραι.

book 333.1 [ln_1]ἐπ’ ἀμφότερα νῦν ἡ ’πίκληρος ἡ κ〈αλὴ〉 μέλλει καθευδήσειν. κατείργασται μέγα καὶ περιβόητον ἔργον· ἐκ τῆς οἰκίας ἐξέβαλε τὴν λυποῦσαν ἣν ἐβούλετο,[ln_5]ἵν’ ἀποβλέπωσιν πάντες εἰς τὸ Κρωβύλης

book 333.2 πρόσωπον ἦι τ’ εὔγνωστος οὖς’ ἐμὴ γυνὴ δέσποινα. καὶ τὴν ὄψιν ἣν ἐκτήσατο· ὄνος ἐν

book 333.3 πιθήκοις, τοῦτο δὴ τὸ λεγόμενον, ἐστίν. σιωπᾶν βούλομαι τὴν νύκτα τὴν[ln_10]πολλῶν κακῶν ἀρχηγόν. οἴμοι Κρωβύλην λαβεῖν ἔμ’, εἰ καὶ δέκα τάλαντ’ 〈ἠνέγκατο〉, 〈τὴν〉 ῥῖν’ ἔχουσαν πήχεως. εἶτ’ ἐστὶ τὸ φρύαγμα πῶς ὑποστατόν; 〈μὰ τὸν〉 Δία τὸν Ὀλύμπιον καὶ τὴν Ἀθηνᾶν, οὐδαμῶς.

book 333.1 [ln_15]παιδισκάριον θεραπευτικὸν δὴ καὶ λόγου τάχιον· ἀπαγέσθω δέ. τί γὰρ ἄν

book 333.2 τις λέγοι;

book 334.1 [spk_〈α〉]〈Α〉 ἔχω δ’ ἐπίκληρον Λάμιαν· οὐκ εἴρηκά σοι

book 334.2 τουτὶ γάρ.

book 334 [ln_2][spk_〈β〉]〈Β〉 οὐχί.

book 334 [ln_2][spk_〈α〉]〈Α〉 κυρίαν τῆς οἰκίας καὶ τῶν ἀγρῶν καὶ πάντων ἀντ’ ἐκείνης ἔχομεν.

book 334.1 [ln_4][spk_〈β〉]〈Β〉 Ἄπολλον, ὡς

book 334.2 χαλεπόν.

book 334.1 [ln_4][spk_〈α〉]〈Α〉 χαλεπώτατον.[ln_5]ἅπασι δ’ ἀργαλέα ’στιν, οὐκ ἐμοὶ μόνωι· ὑῶι

book 334.2 πολὺ μᾶλλον, θυγατρί.

book 334 [ln_6][spk_〈β〉]〈Β〉 πρᾶγμ’ ἄμαχον λέγεις. 〈Α〉 εὖ οἶδα.

book 335.1 ὦ τρισκακοδαίμων, ὅστις ὢν πένης γαμεῖ καὶ παιδοποιεῖθ’. ὡς ἀλόγιστός ἐστ’ ἀνήρ, ὃς μήτε

book 335.2 φυλακὴν τῶν ἀναγκαίων ἔχει μήτ’ ἂν ἀτυχήσας εἰς τὰ κοινὰ τοῦ βίου[ln_5]ἐπαμφιέσαι δύναιτο

book 335.3 τοῦτο

book 335.4 χρήμασιν, ἀλλ’ ἐν ἀκαλύπτωι καὶ ταλαιπώρωι βίωι

book 335.5 χειμαζόμενος ζῆι, τῶν μὲν ἀνιαρῶν ἔχων τὸ μέρος ἁπάντων, τῶν δ’ ἀγαθῶν οὐδὲν μέρος. ὑπὲρ γὰρ ἑνὸς ἀλγῶν ἅπαντας νουθετῶ.

book 336.1 ὅστις πένης ὢν ζῆν ἐν ἄστει βούλεται, ἀθυμότερον ἑαυτὸν ἐπιθυμεῖ ποεῖν. ὅταν γὰρ εἰς

book 336.2 τρυφῶντα καὶ σχολὴν ἄγειν δυνάμενον ἐμβλέψηι, τότ’ αὐτόν ἐστ’ ἰδεῖν[ln_5]ὡς ἄθλιον ζῆι καὶ ταλαίπωρον βίον. κακῶς ὁ δεσπότης βεβούλευται πάνυ· ἐν ἀγρῶι γὰρ οἰκῶν οὐ σφόδρ’ ἐξηλέγχετο τῆς μερίδος ὢν τῆς οὐδαμοῦ τεταγμένης, εἶχεν δὲ παραπέτασμα τὴν ἐρημίαν.

book 397.1 [ln_1][spk_〈α〉]〈Α〉 ξένου τὸ δεῖπνόν ἐστιν ὑποδοχή τινος. 〈Β〉 ποδαποῦ; διαφέρει τῶι μαγείρωι

book 397.2 τοῦτο γάρ. οἷον τὰ νησιωτικὰ ταυτὶ ξενύδρια, ἐν

book 397.3 προσφάτοις ἰχθυδίοις

book 397.4 τεθραμμένα[ln_5]καὶ παντοδαποῖς, τοῖς ἁλμίοις μὲν οὐ πάνυ ἁλίσκετ’ ἀλλ’ οὕτως

book 397.5 παρέργως ἅπτεται, τὰς δ’ ὀνθυλεύσεις καὶ τὰ κεκαρυκευμένα μᾶλλον

book 397.6 προσεδέξατ’. Ἀρκαδικὸς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 397.7 τοὐναντίον ἀθάλαττος ὢν

book 397.8 τοῖς λοπαδίοις ἁλίσκεται.

book 397.1 [ln_10]Ἰωνικὸς

book 397.2 πλούταξ; ὑποστάσεις

book 397.3 ποῶ, κάνδαυλον, ὑποβινητιῶντα βρώματα.

book 416a.1 [ln_1]τοῦτον εὐτυχέστατον λέγω ὅστις θεωρήσας ἀλύπως, Παρμένων, τὰ σεμνὰ ταῦτ᾽ ἀπῆλθεν ὅθεν ἦλθεν

book 416a.2 ταχύ, τὸν ἥλιον τὸν κοινόν, ἄστρ᾽, ὕδωρ, νέφη,[ln_5]πῦρ. ταῦτα, κἂν ἑκατὸν ἔτη βιῷς, ἀεὶ ὄψει

book 416a.3 παρόντα, κἂν ἐνιαυτοὺς

book 416a.4 σφόδρ᾽ ὀλίγους· σεμνότερα

book 416a.5 τούτων ἕτερα δ᾽ οὐκ ὄψει

book 416a.6 ποτέ.

book 416b.1 πανήγυριν νόμισόν

book 416b.2 τιν᾽ εἶναι τὸν

book 416b.3 χρόνον ὅν

book 416b.4 φημι

book 416b.5 τοῦτον, τὴν ἐπιδημίαν ἄνω· ὄχλος, ἀγορά, κλέπται, κυβεῖαι, διατριβαί. ἂν

book 416b.6 πρῶιος ἀπίῃς 〈καὶ〉 καταλύσεις βέλτιον.[ln_5]ἐφόδι᾽ ἔχων ἀπῆλθες ἐχθρὸς οὐδενί. ὁ προσδιατρίβων δ᾽ ἐκοπίασεν ἀπολέσας κακῶς

book 416b.7 τε γηρῶν ἐνδεής

book 416b.8 που γίνεται ῥεμβόμενος, ἐχθροὺς εὗρ᾽, ἐπεβουλήθη

book 416b.9 ποθέν, οὐκ εὐθανάτως ἀπῆλθεν ἐλθὼν εἰς

book 416b.10 χρόνον.

book 417.1 παύσασθε νοῦν ἔχοντες· οὐδὲν γὰρ

book 417.2 πλέον ἁνθρώπινος νοῦς ἐστιν, ἀλλ᾽ ὁ τῆς Τύχης, εἴτ᾽ ἐστὶ τοῦτο

book 417.3 πνεῦμα θεῖον εἴτε νοῦς. τοῦτ᾽ ἔστι τὸ κυβερνῶν 〈ἅπαντα〉 καὶ στρέφον[ln_5]καὶ σῷζον, ἡ πρόνοια δ᾽ ἡ θνητὴ καπνὸς καὶ φλήναφος. πείσθητε, κοὐ μέμψεσθέ με. πάνθ᾽ ὅσα νοοῦμεν ἢ λέγομεν ἢ πράττομεν, τύχη ᾽στιν, ἡμεῖς δ᾽ ἐσμὲν ἐπιγεγραμμένοι.

book 451 [spk_ψευδηρακλης]ΨΕΥΔΗΡΑΚΛΗΣ

book 451.1 [ln_1][spk_〈α〉]〈Α〉 μάγειρ᾽, ἀηδής μοι δοκεῖς εἶναι

book 451.2 σφόδρα. πόσας

book 451.3 τραπέζας μέλλομεν

book 451.4 ποεῖν

book 451.5 τρίτον ἤδη μ᾽ ἐρωτᾷς. χοιρίδιον ἓν θύομεν, ὀκτὼ ποήσοντες

book 451.6 τραπέζας, δύο, μίαν,

book 451.1 [ln_5][spk_〈β〉]τί σοὶ διαφέρει

book 451.2 τοῦτο; παράθες σημιαν. 〈Β〉 οὐκ ἔστι κανδύλους

book 451.3 ποεῖν οὐδ᾽ οἷα σὺ εἴωθας, εἰς

book 451.4

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ταὐτὸν καρυκεύειν μέλι, σεμίδαλιν, ὠιά. πάντα γὰρ τἀναντία νῦν ἐστιν· ὁ μάγειρος γὰρ ἐγχύτους

book 451.5 ποεῖ, πλακοῦντας ὀπτᾶι, χόνδρον ἕψει καὶ φέρει μετὰ τὸ τάριχος, εἶτα θρῖον καὶ βότρυς· ἡ δημιουργὸς δ’ ἀντιπαρατεταγμένη κρεάιδι’ ὀπτᾶι καὶ κίχλας, τραγήματα. ἔπειθ’ ὁ δειπνῶν μὲν

book 451.6 τραγηματίζεται, μυρισάμενος δὲ καὶ στεφανωσάμενος πάλιν 〈σύμμεικτα〉 δειπνεῖ τὰ μελίπηκτα

book 451.7 ταῖς κίχλαις.

book 538.1 μειράκιον, οὔ μοι κατανοεῖν δοκεῖς ὅτι ὑπὸ τῆς ἰδίας ἕκαστα κακίας σήπεται, καὶ πᾶν τὸ λυμαινόμενόν ἐστιν ἔνδοθεν. οἷον ὁ μὲν ἰὸς τὸν σίδηρον, ἂν

book 538.2 σκοπῆις, τὸ δ’ ἱμάτιον οἱ σῆτες, ὁ δὲ θρὶψ τὸ ξύλον. σὲ δὲ τὸ κάκιστον τῶν κακῶν πάντων

book 538.3 φθόνος

book 538.4 φθισικὸν

book 538.5 πεπόηκε καὶ ποήσει καὶ ποεῖ, ψυχῆς

book 538.6 πονηρᾶς δυσσεβὴς

book 538.7 παράστασις.

book 568.1 τίνι δεδούλωνται

book 568.2 ποτέ; ὄψει; φλύαρος· τῆς γὰρ αὐτῆς πάντες ἂν ἤρων· κρίσιν γὰρ τὸ βλέπειν ἴσην ἔχει. ἀλλ’ ἡδονή τις

book 568.3 τοὺς ἐρῶντας ἐπάγεται συνουσίας; πῶς οὖν ἕτερος

book 568.4 ταύτην ἔχων οὐδὲν πέπονθεν ἀλλ’ ἀπῆλθε καταγελῶν, ἕτερος δ’ ἀπόλωλε; καιρός ἐστιν ἡ νόσος

book 568.5 ψυχῆς, ὁ πληγεὶς δ’ εἴσω δὴ τιτρώσκεται.

book 581.1 καὶ τοῦτον ἡμᾶς τὸν

book 581.2 τρόπον γαμεῖν ἔδει ἅπαντας, ὦ Ζεῦ σῶτερ, ὡς ὠνούμεθα, οὐκ ἐξετάζειν μὲν τὰ μηθὲν

book 581.3 χρήσιμα, τίς ἦν ὁ πάππος ἧς γαμεῖ, τήθη δὲ τίς, τὸν δὲ τρόπον αὐτῆς τῆς γαμουμένης, μεθ’ ἧς βιώσεται, μήτ’ ἐξετάσαι μήτ’ 〈 〉 ιδεῖν· ἀλλ’ ἐπὶ τράπεζαν μὲν φέρειν τὴν

book 581.4 προῖχ’ ἵνα εἰ τἀργύριον καλόν ἐστι δοκιμαστὴς ἴδηι, ὃ πέντε μῆνας ἔνδον οὐ γενήσεται, τῆς διὰ βίου δ’ ἔνδον καθεδουμένης ἀεὶ μὴ δοκιμάσασθαι μηδέν, ἀλλ’ εἰκῆι λαβεῖν, ἀγνώμον’ ὀργίλην

book 581.5 χαλεπήν, ἐὰν τύχηι λάλον. περιάξω τὴν ἐμαυτοῦ θυγατέρα τὴν πόλιν ὅλην· οἱ βουλόμενοι

book 581.6 ταύτην λαβεῖν λαλεῖτε, προσκοπεῖσθε

book 581.7 πηλίκον κακὸν λήψεσθ’· ἀνάγκη γὰρ γυναῖκ’ εἶναι κακόν, ἀλλ’ εὐτυχής ἐσθ’ ὁ μετριώτατον λαβών.

book 592.1 τοὺς τῆς γαμετῆς ὅρους ὑπερβαίνεις, γύναι, διὰ τὴν λαλιάν· πέρας γὰρ αὔλειος θύρα ἐλευθέραι γυναικὶ νενόμιστ’ οἰκίας, τὸ δ’ ἐπιδιώκειν εἴς

book 592.2 τε τὴν ὁδὸν

book 592.3 τρέχειν ἔτι λοιδορουμένην κυνός ἐστ’ ἔργον, Ῥόδη

book 612.1 ἀπολεῖ με τὸ γένος. μὴ λέγ’, εἰ φιλεῖς ἐμέ, μῆτερ, ἐφ’ ἑκάστωι τὸ γένος. οἷς ἂν τῆι φύσει ἀγαθὸν ὑπάρχει μηδὲν οἰκεῖον

book 612.2 προσόν, ἐκεῖσε καταφεύγουσιν, εἰς τὰ μνήματα καὶ τὸ γένος, ἀριθμοῦσίν

book 612.3 τε τοὺς πάππους ὅσοι. οὐδένα δ’ ἔχοις ἰδεῖν ἂν οὐδ’ εἰπεῖν ὅτωι οὐκ εἰσὶ πάπποι· πῶς γὰρ ἐγένοντ’ ἄν

book 612.4 ποτε; εἰ μὴ λέγειν δ’ ἔχουσι

book 612.5 τούτους διά τινα τόπου μεταβολὴν ἢ φίλων ἐρημίαν,[ln_10]τί τῶν λεγόντων εἰσὶ δυσγενέστεροι; ὃς ἂν εὖ γεγονὼς ἦι τῆι φύσει

book 612.6 πρὸς τἀγαθά, κἂν Αἰθίοψ ἦι, μῆτέρ, ἐστιν εὐγενής. Σκύθης

book 612.7 τις; “ὄλεθρος.” ὁ δ’ Ἀνάχαρσις οὐ Σκύθης;

book 614.1 ὁ μὲν Ἐπίχαρμος

book 614.2 τοὺς θεοὺς εἶναι λέγει ἀνέμους ὕδωρ γῆν ἥλιον πῦρ ἀστέρας, ἐγὼ δ’ ὑπέλαβον

book 614.3 χρησίμους εἶναι θεοὺς τἀργύριον ἡμῖν καὶ τὸ χρυσίον 〈–〉 [ln_5]ἱδρυσάμενος

book 614.4 τούτους γὰρ εἰς τὴν οἰκίαν, εὖξαι τί βούλει· πάντα

book 614.5 σοι γενήσεται, ἀγρός, οἰκίαι, θεράποντες, ἀργυρώματα, φίλοι, δικασταί, μάρτυρες. μόνον δίδου· αὐτοὺς γὰρ ἕξεις

book 614.6 τοὺς θεοὺς ὑπηρέτας.

book 620.1 ἅπαντα τὰ ζῶι’ ἐστὶ μακαριώτερα καὶ νοῦν ἔχοντα μᾶλλον ἀνθρώπων

book 620.2 πολύ. τὸν ὄνον ὁρᾶν ἔξεστι

book 620.3 πρῶτα

book 620.4 τουτονί· οὗτος κακοδαίμων ἐστὶν ὁμολογουμένως.[ln_5]τούτωι κακὸν δι’ αὑτὸν οὐδὲν γίνεται, ἃ δ’ ἡ φύσις δέδωκεν, 〈αὐτὰ〉 ταῦτ’ ἔχει. ἡμεῖς δὲ χωρὶς τῶν ἀναγκαίων κακῶν αὐτοὶ παρ’ αὑτῶν ἕτερα

book 620.5 προσπορίζομεν. λυπούμεθ’ ἂν

book 620.6 πτάρηι

book 620.7 τις· ἂν εἴπηι κακῶς,[ln_10]ὀργιζόμεθ’· ἂν ἴδηι

book 620.8 τις ἐνύπνιον, σφόδρα

book 620.9 φοβούμεθ’· ἂν γλαῦξ ἀνακράγηι, δεδοίκαμεν. ἀγωνίαι δόξαι

book 620.10 φιλοτιμίαι νόμοι, ἅπαντα

book 620.11 ταῦτ’ ἐπίθετα τῆι φύσει κακά.

book 656.1 μὰ τὴν Ἀθηνᾶν, ἄνδρες, εἰκόν’ οὐκ ἔχω 〈εὑρεῖν〉 ὁμοίαν τῶι γεγονότι

book 656.2 πράγματι, ζητῶν

book 656.3 πρὸς ἐμαυτὸν τί ταχέως ἀπολλύει. στρόβιλος; ἐν ὅσωι

book 656.4 συστρέφεται, προσέρχεται,[ln_5]προσέβαλεν, ἐξέτριψεν, αἰὼν γίνεται. ἀλλ’ ἐν

book 656.5 πελάγει

book 656.6 συγκλυσμός; ἀναπνοὴν ἔχει “Ζεῦ Σῶτερ·” εἰπεῖν “ἀντέχου τῶν

book 656.7 σχοινίων”, ἑτέραν

book 656.8 περιμεῖναι χἀτέραν

book 656.9 τρικυμίαν· ναυαγίου δ’ ἂν ἐπιλάβοι’, ἐγὼ δ’ ἅπαξ[ln_10]ἁψάμενός εἰμι καὶ φιλήσας ἐν βυθῶι.

book 714.1 [ὡς

book 714.2 τοῖσιν εὖ φρονοῦσι σύμμαχος Τύχη.] ἅπαντι δαίμων ἀνδρὶ συμπαρίσταται εὐθὺς γενομένωι μυσταγωγὸς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 714.3 τοῦ βίου ἀγαθός· κακὸν γὰρ δαίμον’ οὐ νομιστέον εἶναι βίον βλάπτοντα

book 714.4 χρηστόν, οὐδ’ ἔχειν κακίαν, ἅπαντα δ’ ἀγαθὸν εἶναι τὸν θεόν. ἀλλ’ οἱ γενόμενοι

book 714.5 τοῖς

book 714.6 τρόποις αὐτοὶ κακοὶ πολλὴν δ’ ἐπιπλοκὴν

book 714.7 τοῦ βίου

book 714.8 πεποημένοι εἰπάντα τὴν ἑαυτῶν ἀβουλίαν ἐκτρίψαντες ἀποφαίνουσι δαίμον’ αἴτιον καὶ κακὸν ἐκεῖνόν

book 714.9 φασιν αὐτοὶ γεγονότες.

book 718.1 εἶτ’ οὐ δικαίως

book 718.2 προσπεπατταλευμένον γράφουσι τὸν

book 718.3 Προμηθέα

book 718.4 πρὸς

book 718.5 ταῖς πέτραις καὶ γίνετ’ αὐτῶι λαμπάς, ἄλλο δ’ οὐδὲ ἓν ἀγαθόν; ὃ μισεῖν οἶμ’ ἅπαντας

book 718.6 τοὺς θεούς, γυναῖκας ἔπλασεν. ὦ πολυτίμητοι θεοί, ἔθνος μιαρόν. γαμεῖ τις ἀνθρώπων, γαμεῖ; λάθριοι τὸ λοιπὸν γὰρ ἐπιθυμίαι κακαί, γαμηλίωι λέχει

book 718.7 τε μοιχὸς ἐντρυφῶν καὶ φαρμακεῖαι καὶ νόσων

book 718.8 χαλεπώτατος φθόνος, μεθ’ οὗ ζῆι πάντα τὸν βίον γυνή.

book 722.1 〈σὺ δὲ δὴ〉 τί σύννους κατὰ μόνας

book 722.2 σαυτῶι λαλεῖς δοκεῖς

book 722.3 τε παρέχειν ἔμφασιν λυπουμένου; ἐμοὶ προσανάθου, λαβέ με σύμβουλον πόνων. μὴ καταφρονήσῃς οἰκέτου

book 722.4 συμβουλίας. πολλάκις ὁ δοῦλος

book 722.5 τοὺς

book 722.6 τρόπους

book 722.7 χρηστοὺς ἔχων τῶν δεσποτῶν ἐγένετο

book 722.8 σωφρονέστερος. εἰ δ’ ἡ τύχη τὸ σῶμα κατεδουλώσατο, ὅ γε νοῦς ὑπάρχει

book 722.9 τοῖς

book 722.10 τρόποις ἐλεύθερος.

book 740.1 εἰ γὰρ ἐγένου σύ, τρόφιμε, τῶν πάντων μόνος, ὅτ’ ἔτικτεν ἡ μήτηρ ς’, ἐφ’ ὧι

book 740.2 τε διατελεῖν

book 740.3 πράσσων ἃ βούλει καὶ διευτυχῶν ἀεί, καὶ τοῦτο τῶν θεῶν

book 740.4 τις ὡμολόγησέ σοι, ὀρθῶς ἀγανακτεῖς· ἔστι γάρ ς’ ἐψευσμένος ἄτοπόν

book 740.5 τε πεπόηκ’· εἰ δ’ ἐπὶ τοῖς αὐτοῖς νόμοις ἐφ’ οἷσπερ ἡμεῖς ἔσπασας τὸν ἀέρα τὸν κοινόν, ἵνα

book 740.6 σοι 〈καὶ〉 τραγικώτερον λαλῶ, οἰστέον ἄμεινον

book 740.7 ταῦτα καὶ λογιστέον.

book 740.1 τὸ δὲ κεφάλαιον τῶν λόγων· ἄνθρωπος εἶ, οὗ μεταβολὴν θᾶττον

book 740.2 πρὸς ὄγκον καὶ πάλιν

book 740.3 ταπεινότητα ζῶιον οὐδὲν λαμβάνει. καὶ μάλα δικαίως· ἀσθενέστατον γὰρ ὂν φύσει μεγίστοις οἰκονομεῖται

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 740.4 πράγμασιν·[ln_15]ὅταν πέσηι δέ, πλεῖστα

book 740.5 συντρίβει καλά. σὺ δ’ οὔθ’ ὑπερβάλλοντα, τρόφιμ’, ἀπώλεσας ἀγαθά, τὰ νυνί τ’ ἐστι μέτριά σοι κακά. ὥστ’ ἀνὰ μέσον

book 740.6 που καὶ τὸ λυπηρὸν φέρε.

book 745.1 “πῶς τὸ τραῦμα

book 745.2 τοῦτ’ ἔχεις;” “μεσαγκύλωι.” “πῶς

book 745.3 πρὸς θεῶν;” “ἐπὶ κλίμακι

book 745.4 πρὸς

book 745.5 τεῖχος ἀναβαίνων.” ἐγὼ μὲν δεικνύω ἐσπουδακώς, οἱ δὲ πάλιν ἐπεμυκτήρισαν.

book 754.1 παράδειγμα

book 754.2 τοὺς Σύρους λαβέ· ὅταν φάγωσ’ ἰχθῦν ἐκεῖνοι, διά τινα αὑτῶν ἀκρασίαν

book 754.3 τοὺς πόδας, τὴν γαστέρα οἰδοῦσιν· εἶτ’ ἔλαβον

book 754.4 σακίον, εἰς τὴν ὁδὸν[ln_5]ἐκάθισαν αὑτοὺς ἐπὶ κόπρου καὶ τὴν θεὸν ἐξιλάσαντο τῶι

book 754.5 τεταπεινῶσθαι

book 754.6 σφόδρα.

book 794,795.1 πάντες μὲν οἱ Θρᾶικες, μάλιστα δ’ οἱ Γέται ἡμεῖς ἁπάντων—καὶ γὰρ αὐτὸς εὔχομαι ἐκεῖθεν εἶναι τὸ γένος—οὐ σφόδρ’ ἐγκρατεῖς ἐσμεν.[ln_5]γαμεῖ γὰρ ἡμῶν οὐδὲ εἷς εἰ μὴ δέκ’ ἢ ἕνδεκα γυναῖκας· δώδεκ’ ἢ πλείους

book 794,795.2 τινές. ἂν τέτταρας δ’ ἢ πέντε γεγαμηκὼς τύχηι καταστροφῆς

book 794,795.3 τις, ἀνυμέναιος ἄθλιος ἄνυμφος οὗτος ἀποκαλεῖτ’ ἐν

book 794,795.4 τοῖς ἐκεῖ.

Eulogikon public reading copy · View original HTML at eulogikon.org